τάτῳ Καρδινάλει Λαυρεντίῳ τῷ Κασόνῳ Ἑλληνο-Λατινιστί· Venetiis 1713 apud Ant· Julianum· εἰς 4ον.

(157) — Ἀρχιερατικόν, περιέχον τὰς θείας καὶ ἱερὰς λειτουργίας Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ μεγάλου, καὶ Γρηγορίου τοῦ Θεολόγου, ἤτοι τῶν Προηγιασμένων. Ἔτι δὲ καὶ τὰς τάξεις πασῶν τῶν χειροτονειῶν, μετά τινων ἀναγκαίων εὐχῶν. Ἐκδοθὲν ἤδη εἰς χρῆσιν τῶν Ἀρχιερέων, ἐπιμελείᾳ καὶ ἀναλώμασι τοῦ Πανιερωτάτου Μητροπολίτου Νύσσης Κυρίου Μητροφάνους. Ἐνετίῃσιν παρὰ Ἀντωνίῳ τῷ Βόρτολι 1714. εἰς φύλ.

(158) — Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, διῃρημένη μὲν ἐν δώδεκα βιβλίοις, ἀρχομένη δὲ ἀπὸ Ἰακώβου τοῦ ἀδελφοθέου καὶ πρώτου Ἱεράρχου τῶν Ἱεροσολύμων ἕως τοῦ παρόντος ἔτους, περιέχουσα τάς τε θείας συνελεύσεις τῶν ἁγίων Ἀποστόλων, καὶ τὰς ἀνὰ πᾶσαν τὴν οἰκουμένην συναθροισθείσας ἐπιφανεστέρας Συνόδους, ὀρθοδόξους τε καὶ κακοδόξους, οἰκουμενικάς τε καὶ τοπικάς, καὶ πᾶν δόγμα τῆς καθολικῆς τοῦ Χριστοῦ ἁγίας καὶ ἀποστολικῆς Ἐκκλησίας, ἐν ᾗ γίνεται καὶ μνήμη κατὰ τάξιν πάντων τῆς Δύσεως καὶ Ἀνατολῆς αὐτοκρατόρων, καὶ τῶν ἔργων αὐτῶν, καὶ τῶν πέντε πατριαρχῶν σὺν ταῖς πράξεσιν αὐτῶν, καὶ ὧν ἔλαχον διοικήσεων καὶ πρεσβείων, καὶ πολλῶν ἄλλων πατέρων, Ἀρχιεπισκόπων τε καὶ Ἀρχιεπισκοπῶν, αἱρεσιαρχῶν τε πάντων, καὶ πασῶν αἱρέσεων, καὶ τῆς καθαιρέσεως αὐτῶν, ἐθνῶν τε καὶ ἀρχηγῶν τινων χριστιανισμοῦ, καὶ ἐκκλησιαστικῶν ἐθνῶν, ἐφόδων τε ἐθνῶν καὶ πολέμων, πόλεών τε ἁλώσεων καὶ Ἱεροσολύμων, καὶ πολλάκις ἀναιρέσεως Ἑβραίων, ἀποικίας τε καὶ ἐξορίας αὐτῶν, ἀπαριθμήσεώς τε πάντων τῶν ἁγίων Πατέρων τῶν κατὰ πασῶν τῶν αἱρέσεων ἀγωνισαμένων, Σχίσματός τε ἐν τῇ Ἐκκλησίᾳ τῶν Παπῶν Ῥώμης, καὶ καθαιρέσεως τῆς μοναρχίας